καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλῄσκετε.
Χο. καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους.
Δα. ἁγνόν τ' Ἀπόλλω, φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
Χο. εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.
Δα. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.
Χο. τίν' οὖν κικλῄσκω τῶνδε δαιμόνων ἔτι;
Δα. ὁρῶ τρίαιναν τήνδε σημεῖον θεοῦ.
Χο. ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
Δα. Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
Χο. ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
Δα. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ'· ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων
ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Ἅιδου θανὼν
φύγῃ ματαίων αἰτίας, πράξας τάδε.
κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τρόπον,
ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.

ΒΑΣΙΛΕΥΣ

ποδαπὸν ὅμιλον τόνδ' ἀνελληνόστολον
πέπλοισι βαρβάροισι κἀμπυκώμασι
χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416177115/20 UNIVERSITÄT LEIPZIG